Μετὰ τριῶν τέταρτον,
Πόνον, ἀθανάτων ὅτι κλέψας
Ἁλίκεσσι συμπόταις
Νέκταρ ἀμβροσίαν τε
Δῶκεν, οἷσιν ἄφθιτον
Θέσσαν. εἰ δὲ θεὸν
Ἀνήρ τις ἔλπεταί τι λασέ-
μεν ἔρδων, ἁμαρτάνει.
Τοὔνεκα προῆκαν υἱὸν
Ἀθάνατοί οἱ πάλιν
Μετὰ τὸ ταχύποτμον
Αὖθις ἀνέρων ἔθνος.
Πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
Λάχναι νιν μέλαν γένειον ἔρεφον,
Ἑτοῖμον ἀνεφρόντισεν γάμον

Α. γ'. Κ. ιζ'.

Πισάτα παρὰ πατρὸς εὔ-
δοξον Ἱπποδάμειαν
Σχεθέμεν. ἄγχι δ' ἐλθὼν
Πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ,
Ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ' αὐτῷ
Παρ ποσὶ σχεδὸν φάνη.
Τῷ μὲν εἶπε· φίλι-
α δῶρα Κυπρίας, ἄγ', εἴ τι,

Ποσεί-